eul_wid: aoq-aa

*Περίανδρος ὁ Κορίνθιος* · Periander of Corinth

## Letters of Periander

*Ἐπιστολαὶ Περίανδρου*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρική* Doric
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἐπιστολή* Epistle

1.(t) Τοῖς σοφοῖς.

1.(t) Πολλὰ χάρις τῷ Πυθοῖ Ἀπόλλωνι τοῦ εἰς ἓν ἐλθόντας εὑρεῖν, ἀξοῦντί τε καὶ ἐς Κόρινθον ταὶ ἐμαὶ ἐπιστολαί. ἐγὼν δὲ ὁμᾶς ἀποδέχομαι, ὡς ἴστε αὐτοί, ὅτι δαμοτικώτατα. πεύθομαι ὡς πέρυτι ἐγένετο ὑμῶν ἁλία παρὰ τὸν Λυδὸν ἐς Σάρδεις. ἤδη ὦν μὴ ὀκνεῖτε καὶ παρ᾽ ἐμὲ φοιτᾶν τὸν Κορίνθου τύραννον. ὑμᾶς γὰρ καὶ ἄσμενοι ὄψονται Κορίνθιοι, φοιτεῦντας ἐς οἶκον τὸν Περιάνδρου.

2.(t) Προκλεῖ.

2.(t) Ἐμὶν μὲν ἀκούσιον τᾶς δάμαρτος τὸ ἄγος, τὺ δὲ ἑκὼν τῷ παιδί με ἄπο θυμοῦ ποιήσαις ἀδικεῖς. ἢ ὦν παῦσον τὰν ἀπήνειαν τῶ παιδός, ἢ ἐγὼν τὸ ἀμυνοῦμαι. καὶ γὰρ δὴν καὶ αὐτὸς ποινὰς ἔτισα τὶν τᾷ θυ γατρί, συγκατακαύσας αὐτᾷ τὰ πασᾶν Κορινθιᾶν εἵματα.